## 3.2.13 *Ἐνύπνιον περὶ τῆς Ἀναστασίας ἐκκλησίας, ἣν ἐπήξατο ἐν Κωνσταντίνου πόλει* (II,1,16)

### Κείμενο

[1]Ἐκάθευδον δὴ ἡδὺν ὕπνον· τὴν Ἀναστασίαν δὲ ὄνειρος [2]ἔστησε τοῖς ἐμοῖς φέρων
ἡμερινοῖς πόθοις· [3]ἥτις πρώτη λόγον ὑψηλὸν ἐν ταῖς διανοίαις ἐνοικοῦντα [4]ἤγαγεν εἰς
ἀκρώρειαν ὄρους ὑψηλοτάτην· [5]τούτου χάριν Ἀναστασίαν αὐτὴν κατ᾽ ἐπωνυμίαν
καλοῦσι [6]ναόν, τῆς ἐμῆς χειρὸς ἔργον τῆς ἄριστα πονούσης. [7]Καθέζεσθαι ἐδόκουν εἰς
ὑψηλὸν θρόνον, οὐχ ὑπερήφανος, [8]οὐδὲ γὰρ οὐδὲ κατ᾽ ὄναρ ἐτίμουν τὴν αὐθάδειαν
[9]οἱ δέ μοι ἑκατέρωθεν ὑπεκάθηντο γέροντες, [10]ποίμνης ἄρχοντες, ἐπίλεκτος ἡλικία.
[11]Οἱ δὲ ὑπηρέται ἐν ἱματίοις λάμποντες [12]ἑστήκεισαν, ἀγγελικῆς εἴδωλα εὐπρεπείας.
[13]Ὄχλοι δὲ οἱ μὲν ἐχέοντο περιεστηκότες, ὥσπερ μέλισσαι, [14]τοῦ καγκέλλου· ἦν γὰρ
κόπος ἐγγὺς προσεγγίσαι. [15]Οἱ δὲ τοῖς ἱεροῖς προθύροις πέριξ ἐστενοχωροῦντο ῥέοντες
(ὡς ὕδωρ), [16]τοῖς ὠσὶ καὶ τοῖς ποσὶν ἐξίσης σπουδάζοντες. [17]Ἄλλους δὲ πάλιν καὶ
ἀγοραὶ καὶ αἱ πολυσχεδεῖς ἅμα ἄμφοδοι, ῥῦμαι, [18]τοῖς ποσὶ κρουόμεναι, ἔπεμπον τοῖς
ἐμοῖς λόγοις. [19]Αἱ δὲ ἀπὸ τῶν ὑψηλῶν δωμάτων, οἴκων τὴν εὔτακτον ἀκοὴν [20]καθαραὶ
παρθένοι ἔκλινον σὺν ταῖς ἀγαθῶς γεγαμημέναις. [21]Καὶ τοῦτο τῆς νυκτὸς τὸ παίγνιον·
διακεχωρισμένως ἵστατο ὁ λαὸς [22]τῶν λόγων τῶν ἡμετέρων εἰσακούειν ἐπιθυμῶν.
[23]Οὗτος μὲν δὴ ταπεινὸν καὶ ὁμαλὸν ἀπῄτει λόγον· [24]οὐ γὰρ ἄνω προσέχειν ἤθελεν,
οὐδὲ ἔμαθεν· [25]οὗτος δὲ εἰς ὕψος τρέχοντα καὶ συνεστραμμένον, οἷστισι μέλει

**1** δὴ Pc, La, S : om. B, Ri ἡδὺν Pc, La, S, Ri : γλυκὺν B ὄνειρος Pc, La, S, Ri : ὁ ὄνειρος B **2** ἔστησε Pc, B : ἔστησεν La, S, Ri **3** ἥτις Pc, La, S, Ri : ἣ B λόγον Pc, La, S, Ri : λόγων B ἐνοικοῦντα Pc, La, S, Ri : οἰκοῦντα B **4** ὑψηλοτάτην Pc, La, S, Ri : ὑψηλωτάτην B **6** τῆς ἄριστα πονούσης Pc, La, S, Ri : ἄριστα πονουμένου B **8** κατ᾽ Pc, La, S, Ri : om. B ἐτίμουν B : ἐτίμων Pc, La, S : ἐτίμον Ri τὴν αὐθάδειαν Pc, La, B, S : τὴν αὐθάδειαν, τὴν ὑπερηφάνειαν Ri **9** ὑπεκάθηντο Pc, S, Ri : ὑπεκάθοντο La : παρεκάθηντο B **11** om. B **12** ἑστήκεισαν Pc, La, S, Ri : ἑστήκεσαν B εὐπρεπείας Pc, B, S : εὐπρεπείης La : εὐπρεποίας sic Ri **13** περιεστηκότες Pc, La, S, Ri : παρεστηκότες B ὥσπερ μέλισσαι Pc, La, S, Ri : ὡς μέλισσα B **14** τοῦ καγκέλλου Pc, La, Ri : οὐ γὰρ ἀγγέλου B : τοῦ καγκέλου S **15** om. S οἱ δὲ Pc, La, Ri : οὐ δὲ B ῥέοντες (ὡς ὕδωρ) Pc, La, Ri : om. B **16** ὠσὶ Pc, B, S : ὠσὶν La, Ri ποσὶν La, B, S, Ri : ποσὶ Pc σπουδάζοντες Pc, La, S, Ri : βαδίζοντες B **17** καὶ ἀγοραὶ Pc, S, Ri : ἀγοραὶ La : αἱ ἀγοραὶ B καὶ αἱ πολυσχεδεῖς ἅμα ἄμφοδοι, ῥύμαι Pc, La, S : διάμφοδοι καὶ αἱ ῥύμαι B : καὶ αἱ πολυσχιδεῖς ἅμα ἄμφοδοι, ῥύμαι Ri **18** λόγοις Pc, La, B : τοῖς λόγοις S, Ri **19** δωμάτων, οἴκων Pc, La, S : δωμάτων B : δωμάτων ἢ οἴκων Ri **20** ἔκλινον Pc, La, S, Ri : ἔκλινα B ἀγαθῶς Pc, La, Ri : ἀγαθαῖς B, S **21** διακεχωρισμένως La, S, Ri : διακεχωρισμένος Pc, B ἵστατο Pc, La, S, Ri : ἵσταται B **22** ἐπιθυμῶν Pc, La, S, Ri : ἐπιθυμῶ B **24** οὐ γὰρ Pc, La, S, Ri : οὔτε B ἤθελεν Pc, La, S, Ri : ἤθελε B ἔμαθεν Pc, La, S, Ri : ἔμαθε B **25** οὗτος δὲ Pc, B, S, Ri : οὗτος δέ, ὁ δὲ La συνεστραμμένον Pc, La, S : συνεστρεμμένον B : ἀνεστρεμμένον Ri οἷστισι Pc, La, S, Ri : οἷς B

[26]τὰ βάθη ἀνερευνᾶν τῆς διττῆς σοφίας, [27]τῆς ξένης, τῆς ἐξωτικῆς καὶ τῆς ἡμετέρας, τῆς ἔσω. Κραυγὴ δὲ ἑκατέρωθεν ἐκεκίνητο [28]συρομένου τοῦ λόγου μαχομένοις ἔρωσιν, ἐπιθυμίαις. [29]Ἐμοὶ δὲ ἀπὸ τῶν στομάτων ἡ Τριὰς ἔρρεεν ἡ μόνη σεβασμία [30]λάμπουσα τρισσὶ κάλλεσι, μορφαῖς ἀνοιγομένοις, [31]καὶ φωνῇ γενναίᾳ, καὶ πνεύματος λαμπομένου [32]κύματι, καὶ λόγων πηδήμασιν ἐναντίων. [33]Καὶ δὴ οἱ μὲν ἐκινοῦντο, καὶ ἐπῄνουν, οἱ δὲ μετὰ σιωπῆς [34]ἐξεπλήττοντο, οἱ δὲ τῷ λόγῳ ἐγόγγυζον ἔτι, οἱ δὲ τῷ νῷ, τῇ διανοίᾳ, [35]ἀποθνησκούσης τῆς λοχείας τῆς ἀφώνου, οἱ δὲ ἐμάχοντο [36]ὥσπερ ἐγειρομένου κύματος ἐξ ἀνέμων. [37]Πάντας δὲ ἡ εὐεπία κατέθελγεν, ἔτερπεν, καὶ τοὺς εὐνοοῦντας [38]καὶ τῶν λόγων τῶν ἱερῶν τοὺς ἐμπείρους τῶν εὐσεβῶν, [39]τούς τε ἡμετέρους καὶ τοὺς ξένους, καὶ οἵτινες λίαν πόρρω τοῦ μοναστηρίου [40]ἄθλιοι τῶν εἰδώλων δοῦλοι τῶν ἀσθενῶν. [41]Καθάπερ δὲ βότρυς χλιαραῖς, θερμαῖς ὑπ᾽ ἀκτίσιν ἁπαλυνθείς, [42]οὔτε σκληρὸς καθαρῶς δι᾽ ὅλου ἡσύχως λυόμενος, [43]οὔτε ὅλως καιρὸν ἔχων ἐστί, τὸ μὲν μέλας, ἕτερον δὲ πυρός, [44]ἄλλο δ᾽ ἀσβολώδης, ὠμὸν δὲ ἄλλον ἔχει· [45]οὕτως οὗτοι ἐφιλονείκουν, ἐμάχοντο προκοπτούσης τῆς κακίας, [46]ἤδη καὶ ληνοῖς ἔχαιρον πλατυτέραις. [47]Ταῦτα εἶχον· ἐκ δέ μοι τὸν ὕπνον ἀπὸ τῶν ὀφθαλμῶν ἐτίναξεν, ἀπέβαλεν [48]ἡ φωνὴ τῶν ἀλεκτόρων, σὺν τούτῳ δὲ τὴν Ἀναστασίαν.

---

**26** om. B  ἀνερευνᾶν Pc, S, Ri : ἐρευνᾶν La  **27** τῆς ξένης, τῆς ἐξωτικῆς Pc, La : τῆς ἔξω B : τῆς ζωῆς τῆς ἐξωτικῆς S : τῆς ξένης Ri  καὶ τῆς ἡμετέρας, τῆς ἔσω Pc : καὶ τῆς ἡμετέρας La : τῆς ἡμετέρας σῆς ζωῆς B : τῆς ἡμετέρας, τῆς ἔσω S : καὶ τῆς ἡμετέρας, τῆς ἔσω Ri  ἑκατέρωθεν Pc, La, S, Ri : ἀμφοτέρωθεν B  ἐκεκίνητο Pc, La, S, Ri : ἠκίνητο B  **28** ἐπιθυμίαις Pc, La, S, Ri : om. B  **29** δὲ Pc, La, S, Ri : om. B  ἔρρεεν B, Ri : ἔρεεν Pc, La, S  ἡ μόνη σεβασμία Pc, La, S, Ri : τῶν σεβασμίων B  **30** om. B  τρισσὶ Pc : τρισὶν La : τρισὶ S, Ri  κάλλεσι Pc : κάλλεσιν La, S : om. Ri  ἀνοιγομέναις Pc : ἀνοιγομένοις La, S, Ri  **31** πνεύματος λαμπομένου Pc, La, S, Ri : λάμποντος πνεύματος B  **32** πηδήμασιν Pc, La, S, Ri : πηδήματι καὶ ἀναδρομαῖς B  ἐναντίων Pc, La, S, Ri : om. B  **33** καὶ ἐπῄνουν Pc, La, S, Ri : ἐπῄνουν B  οἱ δὲ μετὰ σιωπῆς Pc, La, S : συνετίθεντο οἱ δὲ σιωπῆς B : ἐτίθεντο οἱ δὲ μετὰ σιωπῆς Ri  **34** ἔτι, οἱ δὲ τῷ νῷ, τῇ διανοίᾳ Pc, La : om. B : ἔτι, οἱ δὲ τῇ διανοίᾳ S, Ri  **35** λοχείας Pc, La, S, Ri : λαλίας B  τῆς ἀφώνου Pc, B, S, Ri : ἀφώνου La  οἱ δὲ ἐμάχοντο Pc, La, S, Ri : om. B  **37** κατέθελγεν, ἔτερπεν La, Ri : κατέθελγε, ἔτερπεν Pc : κατέθελγε B : κατέθελγεν S  καὶ τοὺς εὐνοοῦντας Pc, La, S, Ri : τοὺς εὐνοοῦντας B  **39** τούς τε ἡμετέρους καὶ τοὺς ξένους Pc, La, S, Ri : τοὺς ἡμετέρους καὶ τοὺς ξένους B  οἵτινες λίαν Pc, La, S, Ri : οἱ B  τοῦ μοναστηρίου Pc, S, Ri : τῆς ἐκκλησίας, τοῦ μοναστηρίου La : τῆς μάνδρας B  **41** χλιαραῖς, θερμαῖς ὑπ᾽ ἀκτίσιν Pc, La, S, Ri : θερμοῖς ὑπ᾽ ἀκτίνεσιν B  **42** καθαρῶς La, B, S, Ri : καθαρὸς Pc  δι᾽ ὅλου Pc, La, S, Ri : om. B  **43** ὅλως Pc, La, S : om. B : ὅλος Ri  ἐστί Pc, B, S, Ri : ἐστίν La  **44** δ᾽ ἀσβολώδης Pc : δὲ ἀσβολώδης La, B, S, Ri  ὠμὸν δὲ ἄλλον ἔχει Pc, La, S, Ri : καὶ ὠμὸν B  **45** οὕτως La, B, S, Ri : οὗτος Pc  ἐφιλονείκουν, ἐμάχοντο Pc, La, Ri : ἐμάχοντο B : ἐφιλονείκουν S  **47** ἐκ δέ μοι Pc, La, S, Ri : μου B  τὸν ὕπνον Pc, La, S, Ri : ὁ ὕπνος B  ἐτίναξεν, ἀπέβαλεν Pc : ἀπέβαλεν La, Ri : ἐτίναξεν B, S  **48** ἀλεκτόρων Pc, La, S, Ri : ἀλεκτρυόνων B

[49]Φαντασίαν δὲ φαντασίας εἶχον ἐπὶ χρόνον, μετὰ ταῦτα δὲ [50]καὶ τοῦτο ἔφυγε τὴν καρδίαν ἠρέμα λυόμενον, [51]μόνον δὲ τὸ πένθος, ἡ λύπη ἔμεινεν ἐμοί, καὶ τὸ γῆρας τὸ ἀνιαρόν, τὸ λυπηρόν. [52]Ὢ μοι τῆς ἐμῆς Τριάδος ! ὢ μοι τῶν ἐμῶν τέκνων ! [53]ὢ φθόνε, τί ποτε με εἰργάσω ; ἔχοις τοσοῦτον· ἄλλον χεῖρον [54]μηδαμῶς τί ποτε βάλῃς ἐπὶ τῷ ἐμῷ κακοθανάτῳ βίῳ. [55]Ὄντως δὴ πολλοῖς σεμνυνομένη καὶ μεγάλοις [56]κάλλεσι ποικίλοις ἡ τῶν βασιλέων πόλις, [57]ναοῖς θείοις ἢ μεγάλοις σεμνύνεται ἐξοχότατον ἄλλων, [58]ναοῖς, τοῖς ποτε ἐμοῖς, νῦν δὲ ἀλλοτρίοις· [59]σὺν τούτοις καὶ τὸ ἔνδοξον ἕδρασμα τοῦ Χριστοῦ τῶν μαθητῶν, [60]πλευραῖς σταυροειδῶς τετυπωμέναις, εἰς τέσσαρα μέρη μεριζόμενον. [61]Ἀλλ' οὐ τοσοῦτος ἐμοὶ ἔρως καὶ λύπη ὑπὲρ ἐκείνων, [62]ὁπόσος τῆς Ἀναστασίας, τῆς Βηθλεὲμ τῆς τελευταίας. [63]Ὄντως μὴν πολλὰ ἐμόχθησα καὶ ἐν θαλάσσῃ, καὶ κατὰ γῆν, [64]ἐχθροῖς, καὶ φίλοις, ποιμέσι, καὶ λύκοις, [65]καὶ νόσῳ χαλεπῇ, καὶ γήρᾳ κεκαμμένῳ· [66]οὐδαμῶς δέ τι πρὸ τούτου· ἐμοὶ τοιοῦτον ἐπῆλθε κακόν, λύπη. [67]Οὐ τοσοῦτον τοῖς Πέρσαις ὅτε ἤγετο πόρρω τῆς πατρίδος [68]ὁ ὄχλος ὁ αἰχμάλωτος, τὸν ναὸν ἔκλαυσε τὸν μέγαν, [69]οὐδὲ μὲν οὐδὲ τὴν κιβωτόν, ὅτε τοῖς ἀλλοεθνέσιν ἐμίγη· [70]οὔτε ὁ Ἰακὼβ τὸ πρὸ τούτου τὸν υἱὸν τὸν Ἰωσὴφ κλαπέντα τὸν προσφιλέστατον· [71]οὐ λέων μεγαλογένειος τοῖς κυνηγοῖς φονευθέντας [72]τοὺς ἐκγόνους, οὐδὲ ἀγέλην τοῖς βουκόλοις ἀπολλυμένην· [73]οὐδὲ φιλοξένου φυτοῦ ἄνωθεν τὴν καλιὰν [74]ὄρνις ἐάσας μὴ θέλων, οὐκ ὀκτάπους τὴν κατάδυσιν, τὴν φωλεάν,

---

**49** φαντασίας La, B, S, Ri : φαντασία Pc  μετὰ ταῦτα δὲ Pc, La, S, Ri : μετὰ ταῦτα B **51** τὸ πένθος, ἡ λύπη Pc, Ri : τὸ πένθος La, B, S  καὶ τὸ γῆρας τὸ ἀνιαρόν, τὸ λυπηρόν Pc, La, Ri : καὶ γῆρας ἀνιαρόν B : καὶ τὸ γῆρας τὸ λυπηρόν S **52** Τριάδος Pc, La, S : Τριάδος ἕνεκα B, Ri **53** τοσοῦτον Pc, La, S, Ri : τόσον B  ἄλλον χεῖρον Pc, La, S, Ri : ἄλλον B **54** βάλῃς Pc, La, S, Ri : με βάλεις B  κακοθανάτῳ βίῳ Pc, La, S, Ri : κακό B **56** κάλλεσι Pc, B, S, Ri : κάλλεσιν La **57** om. B  ἐξοχότατον correxi : ἐξοχοτάτων Pc, La, S, Ri **58** ναοῖς Pc, La, S : τοῖς ναοῖς B, Ri **59** τοῦ Χριστοῦ τῶν μαθητῶν Pc, S, Ri : τοῦ Χριστοῦ μαθητῶν La : τῶν Χριστοῦ μαθητῶν B **60** τετυπωμέναις correxi : τετυπωμένοις Pc, La, S, Ri : τετυπομένοις B  τέσσαρα μέρη Pc, La, S, Ri : τέσσαρα B **62** τῆς Ἀναστασίας Pc, B, S, Ri : Ἀναστασίας La  Βηθλεὲμ Pc, La, S, Ri : Βιθλεὲμ B  τελευταίας Pc, La, S, Ri : δευτέρας B **63** ὄντως Pc, La, S, Ri : οὔτε B  κατὰ γῆν Pc, La, S, Ri : ἐν γῇ B **64** ποιμέσι Pc, B, S : ποιμέσιν La : πυμέσι sic Ri **65** κεκαμμένῳ Pc, La, B, S : καικαμμένῳ Ri **66** πρὸ Pc, La, S, Ri : πρὸς B  ἐπῆλθε correxi : ἐπῆλθεν Pc, La, B, S, Ri  λύπη Pc, La, S, Ri : om. B **68** ὁ αἰχμάλωτος Pc, La, S : ὁ δωρυάλωτος B : ὁ δοριάλωτος, ὁ αἰχμάλωτος Ri  ἔκλαυσε Pc, La, B, S : ἔκλαυσεν Ri **69** οὐδὲ μὲν Pc, La, S, Ri : om. B  τὴν Pc, La, S, Ri : om. B  ἐμίγη Pc, La, B : ἐμίχθη S : ἐμίγην Ri **70** om. B  ὁ Pc, S, Ri : om. La  τὸν Ἰωσὴφ Pc, La, Ri : Ἰωσὴφ S **71** λέων Pc, La, S, Ri : δὲ λέων B **72** ἐκγόνους La, S, Ri : ἐγκόνους Pc, B  τοῖς βουκόλοις Pc, B, S, Ri : ὁ βουκόλος La **74** τὴν κατάδυσιν, τὴν φωλεάν Pc, S, Ri : τὴν κατάδυσιν La : τὴν κατοικίαν B

[75]ὁπόσον ἐγὼ τὸν νεοκατασκεύαστον θρηνῶ μέχρι τοῦ νῦν [76]ναόν, ὅντινα ἄλλος ἔχει δῶρον, προσφορὰν τῶν ἐμῶν καμάτων. [77]Εἰ ἄρα ποτέ σου ἐπιλάθοιτο ἡ ἐμὴ ψυχή, εἴτέ τι ποτε ἡ γλῶσσα [78]προτιμώτερον φέροι παρ' ἐμοί, ὁ Χριστὸς ἐμοῦ λήθην λάβοι. [79]Πολλάκις καὶ μεγάλων θυσιῶν χωρίς, καὶ τραπέζης [80]τὸν ὄχλον τῆς Ἀναστασίας ἑκάθηρα πόρρω μένων, [81]στήσας ἐν ταῖς διανοίαις ἀσώματον ἔσω ναόν, [82]δάκρυον ἐπιχέων φαντάσμασι θειοτέροις. [83]Ὦ ἄγαμοι, καὶ ὦ περὶ τοὺς ὕμνους ἄνω στρεφόμενοι, καὶ χορείαι κάλλισται [84]τῶν ξένων, τῶν ἡμετέρων, ἐκ φωνῆς ἀντικειμένης, [85]καὶ ὦ χῆραι ὀρφανοί, πλανῆται, ἀσθενεῖς, [86]προσέχοντες πρὸς τὰς ἐμάς, ὥσπερ Θεοῦ, χεῖρας, [87]καὶ ὦ οἶκοι ἡδεῖς, γηροκόμοι, οὐδέποτε ἐγὼ [88]ἐπιλήσομαι, οὐδὲ θέλων, τῆς ὑμετέρας φιλίας. [89]Εἰ δέ τί που καὶ ἐμοῦ τοῦ πολυπαθοῦς, τοῦ πολλὰ ὑπομένοντος λείπεται [90]μνήμη ἐν τοῖς ὑμετέροις, αὕτη ἡ χάρις τῆς Τριάδος [91]πλεῖστοι γὰρ τοῖς καιροῖς ἐπίκλινον τὴν ψυχὴν ἔχουσιν, [92]ἐν δὲ μόνοις αἰσχύνη τοῖς ὀφθαλμοῖς τῶν ἐλαφροτέρων. [93]Ἐκεῖνό γε μὴν ποθῶ, ζητῶ, ὦ σεβασμία Τριάς, διαπαντὸς ἀκατάληπτε [94]ταῖς ψυχαῖς ταῖς νεοφύτοις ἡ σὴ μένοι θεότης. [95]Χαίρετε, ὦ βασιλεῖς, τῶν ἐμῶν παθῶν βοηθοί· [96]χαῖρέ μοι, ἀνατολὴ καὶ δύσις μαχόμεναι· [97]χαίρετέ μοι, ὦ ἱερεῖς, ἐπ' ἀλλήλοις, κατ' ἀλλήλων πορευόμενοι· [98]χαῖρε, πρωτοκάθεδρε παρρησία, ἀπόνοια· χαῖρε, πόλις μεγάλη. [99]Ἐγὼ δὲ τῶν χθονίων μὲν μείζων ὑπάρχω θρόνων, [100]ἐπιθυμῶ δὲ μόνης τῆς δόξας τῆς ἀθανάτου.

**76** ὅντινα Pc, La, S, Ri : ὃν B δῶρον, προσφορὰν Pc, La, S, Ri : προσφορὰν B καμάτων Pc, La, S, Ri : πόνων B **77** ἄρα Pc, La, S, Ri : om. B εἴτέ τι ποτε Pc, La, S, Ri : om. B **78** προτιμώτερον Pc : προτιμότερον La, B, S, Ri φέροι Pc, La, S : φέρει B, Ri λάβοι La, S, Ri : λάβῃ Pc, B **81** ταῖς διανοίαις Pc, La, B, S : τὲς διανοίες sic Ri **82** δάκρυον Pc, La, B, S : δάκρυων Ri **83** om. B καὶ ὦ περὶ τοὺς ὕμνους ἄνω στρεφόμενοι correxi : καὶ ὦ περὶ τοὺς ὕμνους ἀναστρεφόμενοι La, Ri : ὦ περὶ τοὺς πόνους ἄνω στρεφόμενοι Pc : καὶ ὦ περὶ τοὺς πόνους ἀναστρεφόμενοι S χορείαι La : χορίαι Pc, S : ὦ χορείαι Ri **84** ἀντικειμένης Pc, La, S : ἀντιθέτου B : ἀντικειμέννεις Ri **85** χῆραι La, B, S, Ri : χεῖραι Pc ὀρφανοί Pc : καὶ ὀρφανοί La, B, S, Ri ἀσθενεῖς Pc, La, S, Ri : καὶ ἀσθενεῖς B **86** om. B **87** ἡδεῖς Pc, La, S, Ri : γλυκεροί B **88** ἐπιλήσομαι Pc, La, B, S : ἐπιλήσωμαι Ri ὑμετέρας Pc, La, B : ἡμετέρας S, Ri **89** ἐμοῦ τοῦ πολυπαθοῦς, τοῦ πολλὰ ὑπομένοντος Pc, La, S, Ri : ἐμοὶ τοῦ πολυπαθοῦς B λείπεται Pc : ὑπολείπεται La : λέλειπται B : ὑπολέλειπται S : ὑπολέλυπται Ri **90** ὑμετέροις Pc, La : ἡμετέροις B, S, Ri αὕτη Pc, La, S, Ri : αὕτη δὲ B τῆς Pc, La, S, Ri : om. B **91** ἐπίκλινον Pc : ἐπικλινῆ La, B, S, Ri ἔχουσιν Pc, La, S, Ri : ἔχουσι B **92** δὲ μόνοις Pc, S : μόνοις δὲ La, B, Ri **93** ἐκεῖνό Pc, La, S, Ri : ἐκείνῳ B γε μὴν Pc, S : δὲ La, B : δὴ Ri ποθῶ, ζητῶ Pc, La, S : ποθῶ B : ζητῶ Ri **94** ταῖς ψυχαῖς ταῖς νεοφύτοις Pc, La, S, Ri : ταῖς νεοφύτοις ψυχαῖς B μένοι Pc, La, S, Ri : μένει B **96** δύσις Pc, La, S, Ri : δύσει B **97** ἐπ' ἀλλήλοις, κατ' ἀλλήλων Pc, S, Ri : ἐπ ἀλλήλοις, κατὰ ἀλλήλων La : ἐπ' ἀλλήλοις B **98** πρωτοκάθεδρε La, S, Ri : προτοκάθεδρε Pc : προκαθεδρία B παρρησία, ἀπόνοια Pc, La, S : ἔπαρσις B : ἔπαρσις, ἀπόνοια Ri **99** τῶν χθονίων μὲν Pc, La, S, Ri : τῶν ἐπὶ γῆς B μείζων Pc, La, B, S : μείζον Ri **100** τῆς δόξας Pc, La, S, Ri : δόξης B

[101]Ἀλλὰ σῷζέ με, σῷζέ με, φίλη Τριάς· τελευταῖον δὲ [102]θεασόμεθα, ὅπου καθαρᾶς ὁ θρόνος Ἀναστασίας. [103]Γρηγορίου θρῆνος οὗτος τὴν Ἀναστασίαν ζητοῦντος, ποθοῦντος, [104]ἧστινος ποτέ αὐτὸν ἡ φθονερὰ ἀπεχώρισεν ἀσθένεια.

**101** σῷζέ με, σῷζέ με Pc, La, S, Ri : σῶσόν με, σῶσόν με B φίλη Pc, B, S : ὦ φίλη La, Ri τελευταῖον Pc, La, S, Ri : ὑστέρως B **102** θεασόμεθα Pc, La, B, Ri : θεασώμεθα S καθαρᾶς Pc : τῆς καθαρᾶς La, B, S, Ri ὁ θρόνος Ἀναστασίας Pc, La, S, Ri : Ἀναστασίας ὁ θρόνος B **103** γρηγορίου Pc, La, S : τοῦ γρηγορίου B, Ri θρῆνος Pc, La, S : ὁ θρῆνος B, Ri ζητοῦντος, ποθοῦντος Pc : ποθοῦντος La, B : ποθοῦντος, ζητοῦντος S : ζητοῦντος Ri **104** ἧστινος Pc, La, S, Ri : ἧς B ποτέ αὐτὸν Pc, La, S, Ri : αὐτὸν B ἀπεχώρισεν La, S, Ri : ἀπεχώρησεν Pc : ἐχώρισεν B